eul_wid: hte-ae

*Ἄρατος ὁ Σολεύς* · Aratus of Soli

## Astronomical Calendar Fragment

*Ἀπόσπασμα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

11.2 133 (5) Ἐκ τοῦ Ἀράτο υ . Γίνωσκε ὅτι ἀπὸ κα′ Μαρτίου δέχεται ὁ Κριὸς τὸν Ἥλιον. καὶ ἐὰν θέλ(ῃς) γνῶναι πότε ἀλλάσσει ἀπὸ ζῳδίου εἰς ζῴδιον ὁ Ἥλιος, ἀπόδος ἑκάστῳ ζῳδίῳ ἀπὸ κα′ Μαρτίου ἀνὰ ἡμέρας λ′, καὶ εὑρήσεις ἐν ἑκάστῳ ζῳδίῳ πόσας μοίρας ἔχει ὁ Ἥλιος, ἤγουν Κριῷ, Μαρτίου κα′ ὥρᾳ νυκτερινῇ δ′. καὶ μένει ἐν Κριῷ ἡμέρας λε′, ὥρας ε′· εἰς τὸν Ταῦρον Ἀπρ(ιλίου κα′) ὥρᾳ νυκτερινῇ θ′ καὶ μένει ἐν Ταύρῳ ἡμέρας λα′ ὥρας * εἰς τοὺς Διδύμους Μαίου κβ′ ὥρᾳ ἡμερινῇ ιβ′ καὶ μένει ἐν Διδύμοις ἡμέρας λα′ ὥρας ις′. εἰς τὸν Καρκίνον Ἰουνίου κγ′ ὥρᾳ νυκτερινῇ δ′· καὶ μένει ἐν Καρκίνῳ ἡμέρας λα′ ὥρας ι′. εἰς τὸν Λέοντα Ἰουλίου κδ′ ὥρᾳ νυκτερινῇ β′, καὶ μένει ἐν Λέοντι ἡμέρας λ′ ὥρας κδ′. εἰς τὴν Παρθένον Αὐγούστου κδ′ ὥρᾳ ἡμερινῇ ιδ′ καὶ μένει ἐν Παρθένῳ ἡμέρας λ′ ὥρας ιε′. εἰς τὸν Ζυγὸν Σεπτεμβρίου κγ′ ὥρᾳ νυκτερινῇ δ′ καὶ μένει ἐν Ζυγῷ ἡμέρας κθ′ ὥρας ις′. εἰς τὸν Σκορπίον Ὀκτωβρίου κγ′ ὥρᾳ ἡμερινῇ η′ καὶ μένει ἐν Σκορπίῳ ἡμέρας κθ′ ὥρας ζ′. εἰς τὸν Τοξότην Νοεμβρίου κα′ ὥρᾳ νυκτερινῇ ζ′ καὶ μένει ἐν Τοξότῃ ἡμέρας κθ′ ὥρας δ′. εἰς τὸν Αἰγόκερων Δεκεμβρίου κ′ ὥρᾳ ἡμερινῇ β′ καὶ μένει ἐν Αἰγόκερῳ ἡμέρας κθ′ ὥρας ιδ′. εἰς τὸν Ὑδροχόον Ἰανουαρίου ιθ′ ὥρᾳ ἡμερινῇ ς′ καὶ μένει ἐν Ὑδροχόῳ ἡμέρας λ′ ὥρας ις′. εἰς τοὺς Ἰχθύας Φεβρουαρίου ιη′ ὥρᾳ νυκτερινῇ ι′ καὶ μένει ἐν Ἰχθύσιν ἡμέρας λ′ ὥρας ς′. Ἐὰν δὲ θέλῃς γνῶναι καθ’ ἑκάστην ἡμέραν ἐν ποίῳ ζῳδίῳ ἀνατέλλει καὶ πόσα ζῴδια διέρχεται τὴν ἡμέραν καὶ πόσα τὴν νύκτα, ποίει οὕτως· ἐὰν εὕρῃς ἑκάστου ἀριθμοῦ τὸν τριακοστὸν ἐν ποίῳ ζῳδίῳ ἐστὶν ὁ Ἥλιος ἐν αὐτῷ, καθ’ ἑκάστην ἡμέραν ἀπόδος τῷ ζῳδίῳ ἐκείνῳ α′ β′ καὶ τῷ μετ’ ἐκεῖνον γ′, δ′, καὶ οὕτως καθεξῆς ἕως τῶν ιβ′, ἀπόδος ἑκάστῳ ζῳδίῳ β′ ὥρας. —Οἷον· ἀνατέλλει ὁ Ἥλιος ἐν Διδύμοις, ἀπόδος α′ καὶ β′ Διδύμοις.

11.2 134 [14b] γ′ δ′ Καρκίνῳ, ε′ ς′ Λέοντι, ζ′ η′ Παρθένῳ, θ′ καὶ ι′ Ζυγῷ, ια′ ιβ′ Σκορπίῳ καὶ πάλιν ὥρας α′ καὶ β′ νυκτερινὰς Τοξότῃ, γ′ δ′ Αἰγόκερῳ, ε′ ς′ Ὑδροχόῳ, ζ′ η′ Ἰχθύσι, θ′ ι′ Κριῷ, ια′ ιβ′ 〈Ταύρῳ〉 καὶ ἀνατέλλει ὁ Ἥλιος ἐν Διδύμοις. Τῶν ιβ′ ζῳδίων· αἱ στάσεις Α Κριός Ν Β Ταῦρος Ξ Δ Καρκίνος Π Ε Λέων Ρ Ζ Παρθένος Σ Η Ζυγός Τ Θ Σκορπίος Υ Ι Τοξότης Φ Κ Αἰγόκερως Χ Λ Ὑδροχόος Ψ Μ Ἰχθύες Ω Αἱ ζῶναι τῶν ζ′ ἀστέρων. Λάμπων Κρόνος α′ ζώνην ἐπέχει. Φαέθων Ζεὺς β′. Πυρόεις Ἄρης γ′. Ἥλιος δ′. Κάλλιστος Ἀφροδίτη ε′. Στίλβων Ἑρμῆς ς′. Σελήνη ζ′.